Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XLV. Epistola Dionysii ad Novatum.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

## ΚΕΦΑΛΑΙΟΝ ΜΕ'.

Ἐπιστολὴ πρὸς Νοουάτον Διονυσίου.

Ἴδωμεν δὲ ὁ αὐτὸς ὁποῖα καὶ τῷ Νοουάτῳ διεχάραξε, ταράττοντι τηνικάδε τὴν Ῥωμαίων ἀδελφότητα· ἐπειδὴ οὖν τῆς ἀποστασίας καὶ τοῦ σχίσματος πρόφασιν ἐποιεῖτο τῶν ἀδελφῶν τινάς, ὡς δὴ πρὸς αὐτῶν ἐπὶ τοῦτ' ἐλθεῖν ἐκβεβιασμένος, ὅρα τίνα τρόπον αὐτῷ γράφει. Διονύσιος Νοουάτῳ τῷ ἀδελφῷ χαίρειν. εἰ ἄκων ὡς φὴς ἤχθης, δείξεις ἐὰν ἀναχωρήσῃς ἑκών. ἔδει μὲν γὰρ καὶ πᾶν ὁτιοῦν παθεῖν, ὑπὲρ τοῦ μὴ διακόψαι τὴν ἐκκλησίαν τοῦ Θεοῦ. καὶ ἦν οὐκ ἀδοξοτέρα τῆς ἕνεκεν τοῦ μὴ σχίσαι μαρτυρία, κατ' ἐμὲ δὲ καὶ μείζων. ἐκεῖ μὲν γὰρ ὑπὲρ μιᾶς τις τῆς ἑαυτοῦ ψυχῆς, ἐνταῦθα δὲ ὑπὲρ ὅλης τῆς ἐκκλησίας μαρτυρεῖ. καὶ νῦν δὲ εἰ πείσαιο ἢ βιάσαιο τοὺς ἀδελφοὺς εἰς ὁμόνοιαν ἐλθεῖν, μεῖζον ἔσται σοι τοῦ σφάλματος τὸ κατόρθωμα· καὶ τὸ μὲν οὐ λογισθήσεται. τὸ δὲ ἐπαινεθήσεται. εἰ δὲ ἀπειθούντων ἀδυνατοίης, σῴζων σῷζε τὴν σεαυτοῦ ψυχήν. ἐρρῶσθαί σε ἐχόμενον τῆς εἰρήνης ἐν Κυρίῳ εὔχομαι. ταῦτα καὶ πρὸς τὸν Νοουάτον.

## Caput XLV.

*Epistola Dionysii ad Novatum.*

Sed videamus cujusmodi literas idem Dionysius scripserit ad Novatum, qui tunc temporis Romanam Ecclesiam conturbabat. Quoniam igitur ille defectionis & schismatis causam in quosdam fratres conferebat, à quibus se invitum eò impulsum fuisse causabatur, attende qualiter ad illum scribat: Dionysius Novato fratri salutem. Si quidem invitus, ut asseris, eò adductus es, id nobis ostendes tua sponte redeundo. Satius quidem fuerat quidvis pati ne Ecclesia Dei discinderetur. Nec minùs gloriosum fuisset idcircò subire martyrium, ne ecclesiam scinderes, quàm ut ne idolis sacrificares. Immo illud meo quidem judicio illustrius fuisset. Hîc enim pro sua unius anima: illic pro omni ecclesia martyrium quis sustinet. Si tamen vel nunc persuaseris fratribus, aut eos coëgeris ut ad concordiam redeant, majus tibi meritum erit quàm culpa. Et hæc quidem non imputabitur: Illud verò prædicabitur. Quod si fratribus parere recusantibus id efficere non potes, tuam ipse animam serva. Opto te paci studentem in Domino bene valere. Hęc Dionysius ad Novatum scripsit.

Hæc refer Niceph. l. 6 c. 4.

## ΚΕΦΑΛΑΙΟΝ Μϛ'.

Περὶ τῶν ἄλλων Διονυσίου ἐπιστολῶν.

Γράφει δὲ καὶ πρὸς τοὺς κατ' Αἴγυπτον ἐπιστολὴν περὶ μετανοίας· ἐν ᾗ τὰ δόξαντα αὐτῷ περὶ τῶν ὑποπεπτωκότων παρατέθειται, τάξεις παραπτωμάτων διαγράψας. καὶ πρὸς Κόνωνα. τῆς Ἑρμουπολιτῶν δὲ παροικίας Ἐπίσκοπος ἦν οὗτος. ἰδία τις περὶ μετανοίας αὐτοῦ φέρεται γραφὴ καὶ ἄλλη ἐπιστρεπτικὴ πρὸς τὸ κατ' Ἀλεξάνδρειαν ποίμνιον αὐτοῦ. ἐν τούτοις ἐστὶ καὶ ἡ περὶ μαρτυρίου πρὸς τὸν Ὠριγένην γραφεῖσα. καὶ τοῖς κατὰ Λαοδίκειαν ἀδελφοῖς, ὧν προΐστατο Θηλυμίδρης Ἐπίσκοπος. καὶ τοῖς κατὰ Ἀρμενίαν ὡσαύτως περὶ μετανοίας ἐπιστέλλει, ὧν ἐπεσκόπευε Μερουζάνης. πρὸς ἅπασι τούτοις, καὶ Κορνηλίῳ τῷ κατὰ Ῥώμην γράφει, δεξάμενος αὐτοῦ τὴν κατὰ τοῦ Νοουάτου ἐπιστολήν· ᾧ καὶ σημαίνει δηλῶν ἑαυτὸν παρακεκλῆσθαι ὑπό τε Ἑλένου τοῦ ἐν Ταρσῷ τῆς Κιλικίας Ἐπισκόπου, καὶ τῶν λοιπῶν τῶν σὺν αὐτῷ. Φιρμιλιανοῦ τε τοῦ ἐν Καππαδοκίᾳ,

## Caput XLVI.

*De aliis Dionysii epistolis.*

Scripsit etiam ad fratres per Ægyptum constitutos epistolam de pœnitentia: in qua & suam de lapsis sententiam exponit, & criminum gradus distinguit. Exstat etiam peculiaris ejus liber de pœnitentia ad Cononem Hermopolitanæ Ecclesiæ Episcopum. Alia item objurgatoria epistola ad gregem suum Alexandriæ. Est & libellus de martyrio ad Origenem scriptus. Epistola quoque ad fratres Laodicensis Ecclesiæ cui præerat Thelymidres Episcopus: & ad Armenios similiter de pœnitentia, quorum Episcopus erat Meruzanes. Scribit prætere ad Cornelium Romanæ urbis Episcopum, cujus literas adversus Novatum scriptas acceperat. In qua quidem epistola significat se ab Heleno Tarsi Ciliciæ Episcopo, & à ceteris qui cum illo convenerant: Firmiliano scilicet Cappadociæ,

Hæc refer Niceph. c. 6. l. 6.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN